εἶπεν Μὴ ἐγκαταλίπῃς ἡμᾶς, οὗ εἵνεκεν ἦσθα μεθ᾽ ἡμῶν ἐν τῇ
ἐρήμῳ, καὶ ἔσῃ ἐν ἡμῖν πρεσβύτης· [32]καὶ ἔσται ἐὰν πορευθῇς μεθ᾽ 32
ἡμῶν, καὶ ἔσται τὰ ἀγαθὰ ἐκεῖνα, ὅσα ἐὰν ἀγαθοποιήσῃ κύριος
ἡμᾶς, καὶ εὖ σε ποιήσομεν.
[33]Καὶ ἐξῆραν ἐκ τοῦ ὄρους κυρίου ὁδὸν τριῶν ἡμερῶν, καὶ ἡ 33
κιβωτὸς τῆς διαθήκης κυρίου προεπορεύετο προτέρα αὐτῶν ὁδὸν
τριῶν ἡμερῶν κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν. [34]καὶ ἐγένετο ἐν 34
τῷ ἐξαίρειν τὴν κιβωτὸν καὶ εἶπεν Μωυσῆς Ἐξεγέρθητι, κύριε, δια-
σκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές
σε. [35]καὶ ἐν τῇ καταπαύσει εἶπεν Ἐπίστρεφε, κύριε, χιλιάδας μυ- 35
ριάδας ἐν τῷ Ισραηλ. [36]καὶ ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ᾽ αὐ- 36
τοῖς ἡμέρας ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς παρεμβολῆς.
[1]Καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ ἔναντι κυρίου, καὶ ἤκουσεν 11
κύριος καὶ ἐθυμώθη ὀργῇ, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ κυρίου
καὶ κατέφαγεν μέρος τι τῆς παρεμβολῆς. [2]καὶ ἐκέκραξεν ὁ λαὸς 2
πρὸς Μωυσῆν, καὶ ηὔξατο Μωυσῆς πρὸς κύριον, καὶ ἐκόπασεν τὸ
πῦρ. [3]καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἐμπυρισμός, ὅτι 3
ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ κυρίου.
[4]Καὶ ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησαν ἐπιθυμίαν, καὶ καθί- 4
σαντες ἔκλαιον καὶ οἱ υἱοὶ Ισραηλ καὶ εἶπαν Τίς ἡμᾶς ψωμιεῖ κρέα;
[5]ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, καὶ 5
τοὺς σικύας καὶ τοὺς πέπονας καὶ τὰ πράσα καὶ τὰ κρόμμυα καὶ
τὰ σκόρδα· [6]νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν εἰς τὸ 6
μαννα οἱ ὀφθαλμοὶ ἡμῶν. [7]τὸ δὲ μαννα ὡσεὶ σπέρμα κορίου ἐστίν, 7
καὶ τὸ εἶδος αὐτοῦ εἶδος κρυστάλλου· [8]καὶ διεπορεύετο ὁ λαὸς 8
καὶ συνέλεγον καὶ ἤληθον αὐτὸ ἐν τῷ μύλῳ καὶ ἔτριβον ἐν τῇ θυίᾳ
καὶ ἥψουν αὐτὸ ἐν τῇ χύτρᾳ καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας, καὶ ἦν
ἡ ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα ἐγκρὶς ἐξ ἐλαίου· [9]καὶ ὅταν κατέβη ἡ 9
δρόσος ἐπὶ τὴν παρεμβολὴν νυκτός, κατέβαινεν τὸ μαννα ἐπ᾽ αὐτῆς.
[10]καὶ ἤκουσεν Μωυσῆς κλαιόντων αὐτῶν κατὰ δήμους αὐτῶν, ἕκα- 10
στον ἐπὶ τῆς θύρας αὐτοῦ· καὶ ἐθυμώθη ὀργῇ κύριος σφόδρα, καὶ
ἔναντι Μωυσῆ ἦν πονηρόν. [11]καὶ εἶπεν Μωυσῆς πρὸς κύριον Ἵνα 11
τί ἐκάκωσας τὸν θεράποντά σου, καὶ διὰ τί οὐχ εὕρηκα χάριν
ἐναντίον σου ἐπιθεῖναι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ᾽ ἐμέ; [12]μὴ 12
ἐγὼ ἐν γαστρὶ ἔλαβον πάντα τὸν λαὸν τοῦτον ἢ ἐγὼ ἔτεκον αὐ-
τούς, ὅτι λέγεις μοι Λαβὲ αὐτὸν εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι
τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν, ἣν ὤμοσας τοῖς πατράσιν

33 της > A || 34. 35 post 36 tr. 𝔐 || 36 εν] pr. και B*†
11 4 επεθυμησεν B | κρεας B* || 5 σικυους B^c | κρομυα A || 6 ουδεν > B*† || 7 ειδος ult.] pr. ως A (in *O* sub ※) || 10 εκαστος A | κατα την θυραν A† || 11 ορμην] οργην A || 12 παντα τον] tr. A | ετεκον] τετοκα A† | αυτον] -τους A | την > A